πραγμάτων, ἔστι τι σαφῶς ἀποφήνασθαι, ῥευστῆς οὔσης καὶ αὐτῶν τῆς φύσεως, καὶ ἐν τούτῳ τὸ εἶναι ἐχούσης, ἐν τῷ γίνεσθαι, καὶ ἀπογίνεσθαι. ὅθεν ἐρωτώμενοι, κατένευον μόνον, ἢ ἀνένευον, οἰόμενοι φθάνειν ἀμειφθῆναι τὰ πράγματα, πρὶν ἀποκρίνασθαι. ὁ δὲ μαθητὴς αὐτοῦ Ἡράκλειτος ἐπιτείνων τὸ ἄτοπον, ἔλεγεν ὅτι οὐδὲ ἅπαξ εἰς τὸν αὐτὸν ποταμὸν ἐμβληθῆναι δυνατόν. πρὶν γὰρ ὅλον τὸ σῶμα καταδῦναι, πλεῖστον ὕδωρ φανεῖ παραρρεῦσαν. οὕτω δὲ ἔχειν καὶ τὴν τῶν πραγμάτων φύσιν. ἐν κινήσει γὰρ, καὶ ῥοῇ, τὸ εἶναι ἔχει ἅπαντα. διὸ καὶ ἐφεκτικοὶ ἐλέγοντο, παρὰ τὸ ἐπέχειν τὰς περὶ τῶν πραγμάτων ἀποκρίσεις. ὁ δὲ Πλάτων πολλοῖς λόγοις τὴν δόξαν ταύτην ἐλέγξας, μετὰ πολλὰ, καὶ τοῦτον αὐτοῖς ἐπιφέρει τὸν λόγον, ὅτι ὦ ἄνθρωποι, οἱ λέγοντες ἀκαταληψίαν εἶναι, κατελάβετε ὅτι ἔστιν ἀκαταληψία, ἢ οὔ; εἰ μὲν γὰρ κατελάβετε, ἔστι κατάληψις. εἰ δὲ οὐ κατελάβετε, οὐκ ἔστιν ὑμῖν πιστεῦσαι, ὡς μὴ καταλαβοῦσιν ὅτι ἔστιν ἀκαταληψία. Οἱ δὲ κυνικοὶ οὕτως ἐκαλοῦντο, διὰ τὸ παρρησιαστικὸν, καὶ ἐλεγκτικόν. καὶ γὰρ τὸν κύνα φασὶν ἔχειν τι φιλόσοφον, καὶ διακριτικόν. ὑλακτεῖ μὲν γὰρ τοῖς ἀλλοτρίοις, προσσαίνει δὲ τοῖς οἰκείοις. οὕτω καὶ οὗτοι, προσίεντο μὲν, καὶ ἠσπάζοντο τὰς ἀρετὰς, καὶ τοὺς κατ᾽ ἀρετὴν ζῶντας, ἐπήχθοντο δὲ, καὶ ὑλάκτουν τοῖς πάθεσι, καὶ τοῖς κατὰ τὰ πάθη ζῶσι, κἂν βασιλεῖς εἶεν. Οἱ δὲ, ἡδονικοὶ ἐκαλοῦντο, διότι τέλος ἐτίθεντο τὴν ἡδονήν, ἡδονὴν δὲ, οὐ τὴν σωματικὴν, ἀλλὰ τὸ γαληνὸν, καὶ ἀτάραχον τῆς ψυχῆς κατάστημα, τὸ ἑπόμενον τῇ κατ᾽ ἀρετὴν ζωῇ.